Григорий Нисский. Об устроении человека 8, PG 44, 145.9 – 145.31

Γένοιτο δ' ἂν ἡμῖν τοιαύτη τις ἡ τοῦ λόγου διαίρεσις· Τῶν ὄντων τὸ μέν τι νοητὸν, τὸ δὲ σωματικὸν πάντως ἐστίν. Ἀλλὰ τοῦ μὲν νοητοῦ παρείσθω νῦν ἡ πρὸς τὰ οἰκεῖα τομή· οὐ γὰρ τούτων ὁ λόγος. Τοῦ δὲ σωματικοῦ τὸ μὲν ἄμοιρον καθόλου ζωῆς, τὸ δὲ μετέχει ζωτικῆς ἐνεργείας. Πάλιν τοῦ ζωτικοῦ σώματος τὸ μὲν αἰσθήσει συζῇ, τὸ δὲ ἀμοιρεῖ τῆς αἰσθήσεως. Εἶτα τὸ αἰσθητικὸν τέμνεται πάλιν εἰς λογικόν τε καὶ ἄλογον. Διὰ τοῦτο πρῶτον μετὰ τὴν ἄψυχον ὕλην οἷον ὑποβάθραν τινὰ τῆς τῶν ἐμψύχων ἰδέας τὴν φυσικὴν ταύτην ζωὴν συστῆναι λέγει ὁ νομοθέτης, ἐν τῇ τῶν φυτῶν βλάστῃ προϋποστᾶσαν· εἶθ' οὕτως ἐπάγει τῶν κατ' αἴσθησιν διοικουμένων τὴν γένεσιν. Καὶ ἐπειδὴ κατὰ τὴν αὐτὴν ἀκολουθίαν τῶν διὰ σαρκὸς τὴν ζωὴν εἰληχότων τὰ μὲν αἰσθητικὰ, καὶ δίχα τῆς νοερᾶς φύσεως ἐφ' ἑαυτῶν εἶναι δύναται, τὸ δὲ λογικὸν οὐκ ἂν ἑτέρως γένοιτο ἐν σώματι, εἰ μὴ τῷ αἰσθητῷ συγκραθείη· διὰ τοῦτο τελευταῖος μετὰ τὰ βλαστήματα καὶ τὰ βοτὰ κατεσκευάσθη ὁ ἄνθρωπος, ὁδῷ τινι πρὸς τὸ τέλειον ἀκολούθως προϊούσης τῆς φύσεως.

Мы могли бы сделать следующее деление в нашем слове. Из всего существующего одно умопостигаемое, другое же телесное. Но деление умопостигаемого внутри себя сейчас опустим, поскольку речь не об этом. Из телесного же одно совершенно лишено жизни, другое причастно жизненной энергии. Из живых же тел опять: что-то живет с чувством, а что-то лишено чувства. Чувствующее же вновь разделяется на разумное и неразумное. Поэтому Законоположник говорит, что первой после неодушевленного вещества, как бы в качестве основы для идей одушевленного, была образована эта природная жизнь, предсуществующая в семени растений. После нее уже приходит в бытие то, что управляется чувством.
Поскольку же, по этой последовательности, из принявших жизнь через плоть чувствующее может быть само по себе без умной природы, но разумное не иначе возникнет в теле, только как смешавшись с чувственным, то последним, после произрастающего и пасущегося, был устроен человек, ибо природа известным путем последовательно продвигалась к совершенству.

Григорий Нисский. Об устроении человека 8, PG 44, 148.17–27.

Εἰ οὖν τελευταῖον μετὰ πᾶν ἔμψυχον ἡ Γραφὴ γεγενῆσθαι λέγει τὸν ἄνθρωπον, οὐδὲν ἕτερον ἢ φιλοσοφεῖ τὰ περὶ ψυχῆς ἡμῖν ὁ νομοθέτης, ἐπ' ἀναγκαίᾳ τινὶ τῇ τάξεως ἀκολουθίᾳ τὸ τέλειον ἐν τελευταίοις βλέπων. Ἐν μὲν γὰρ τῷ λογικῷ καὶ τὰ λοιπὰ περιείληπται· ἐν δὲ τῷ αἰσθητικῷ καὶ τὸ φυσικὸν εἶδος πάντως ἐστίν. Ἐκεῖνο δὲ περὶ τὸ ὑλικὸν θεωρεῖται μόνον. Οὐκοῦν εἰκότως, καθάπερ διὰ βαθμῶν ἡ φύσις, τῶν τῆς ζωῆς λέγω ἰδιωμάτων, ἀπὸ τῶν μικροτέρων ἐπὶ τὸ τέλειον ποιεῖται τὴν ἄνοδον;

«Поскольку Писание говорит, что человек был создан последним после всего одушевленного, то законоположник философствует ни о чем ином, как о нашей душе, по необходимой последовательности порядка [творения] усматривая совершенное в последнем. Ибо в разумном заключаются и остальные [виды], а в чувствующем всегда есть и природный вид, каковой созерцается только в связи с вещественным. Таким образом, природа как бы по ступеням – говорю об отличительных признаках жизни – совершает восхождение от самого малого к совершенному».

Цицерон. О природе богов 2.12.33–34[1]

atque etiam si a primis incohaiisque naturis ad ultimas perfectasque volumus procedere, ad deorum naturam perveniamus necesse est. primum enim animadrertijnus a natura sustineri ea quae gignantur e terra, quibus natura nihil tribuit amplius quam ut ea alendo alque augcndo tueretur. bestiis autem sensum et motum dedit et cum quodam appetitu accessum ad res salutares, a pestiferis recessum. hoc homini amplius, qitod addidit rationem, qua regerentur animi appetitus . . . quartus autem gradus est et altissimus eorum[2]

«…Если мы пожелаем совершить переход от самых примитивных, неразвитых существ до высших и совершенных, то мы необходимо придем к богам. Ибо прежде всего мы замечаем, что природа поддерживает тех, которые родятся из земли, но забота о них природы ограничивается только тем, что она их питает и выращивает. А животным еще дана способность чувствовать и двигаться вместе с неким стремлением достичь спасительного для них и уклониться от гибельного. Но человеку природа добавила сверх того разум, который бы управлял его душевными стремлениями, то давая им волю, то сдерживая».

Порфирий. Исагога 4: 15-27 (Busse)

ἔστιν δὲ γενικώτατον μέν, ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο ἐπαναβεβηκὸς γένος, εἰδικώτατον δέ, μεθ' ὃ οὐκ ἂν εἴη ἄλλο ὑποβεβηκὸς εἶδος, μεταξὺ δὲ τοῦ γενικωτάτου καὶ τοῦ εἰδικωτάτου ἄλλα, ἃ καὶ γένη καὶ εἴδη ἐστὶ τὰ αὐτά, πρὸς ἄλλο μέντοι καὶ ἄλλο λαμβανόμενα. Γινέσθω δὲ ἐπὶ μιᾶς κατηγορίας σαφὲς τὸ λεγόμενον. ἡ οὐσία ἔστι μὲν καὶ αὐτὴ γένος, ὑπὸ δὲ ταύτην ἐστὶν σῶμα, καὶ ὑπὸ τὸ σῶμα ἔμψυχον σῶμα, ὑφ' ὃ τὸ ζῷον, ὑπὸ δὲ τὸ ζῷον λογικὸν ζῷον, ὑφ' ὃ ὁ ἄνθρωπος, ὑπὸ δὲ τὸν ἄνθρωπον Σωκράτης καὶ Πλάτων καὶ οἱ κατὰ μέρος ἄνθρωποι.

«Наиболее родовое есть то, выше чего не может подняться какой-либо другой род, а наиболее видовое – то, ниже чего не может опуститься [какой-либо] другой вид, а между наиболее родовым и видовым содержится иное, каковое есть одновременно и род, и вид, берущееся, однако, в отношении то к одному, то к другому. То, о чем речь, должно стать ясным на примере одной категории. Сама сущность есть род, под ней же находится тело, под телом – одушевленное тело, под ним – живое, под живым – живое разумное, под ним – человек, а под человеком – Сократ, Платон и отдельные люди».

Филон Александрийский. О возделывании земли 139 = SVF II 182

ὅτι τῶν ὄντων τὰ μέν ἐστι σ ώ μ α τ α , τὰ δ' ἀσώματα· καὶ <τῶν σωμάτων> τὰ μὲν ἄψυχα, τὰ δὲ ψυχὴν ἔχοντα· καὶ τὰ μὲν λογικὰ, τὰ δ' ἄλογα· καὶ τὰ μὲν θνητά, τὰ δὲ θεῖα· καὶ τῶν θνητῶν τὸ μὲν ἄῤῥεν, τὸ δὲ θῆλυ, τὰ ἀνθρώπου τμήματα

«Из существующего одно телесно, другое – бестелесно; [из телесного же] одно неодушевлено, другое имеет душу; [из одушевленного] одно разумно, другое неразумно, и [из разумного] одно смертно, другое же божественно. И из смертного одно мужского рода, другое – женского, как делятся люди».

---

[1] Пер. М. И. Рижского; цит. по изд.: Марк Туллий Цицерон. Философские трактаты / Отв. ред., сост., автор вступ. ст. Г. Г. Майоров; пер. с лат. и комм. М. И. Рижского. М., Наука, 1985.

[2] Латинский текст взят в: Jaeger W. Nemesios von Emesa. Quellenuntersuchungen zum Neuplatonismus und seinen Anfängen bei Poseidonios. Berlin, 1914, S. 114–115.

Дионисий Ареопагит. О Божественных именах 5.1: 181.1–6 (Suchla).

Καὶ γὰρ ἡ τἀγαθοῦ θεωνυμία τὰς ὅλας τοῦ πάντων αἰτίου προόδους ἐκφαίνουσα καὶ εἰς τὰ ὄντα καὶ εἰς τὰ οὐκ ὄντα ἐκτείνεται καὶ ὑπὲρ τὰ ὄντα καὶ ὑπὲρ τὰ οὐκ ὄντα ἔστιν. Ἡ δὲ τοῦ ὄντος εἰς πάντα τὰ ὄντα ἐκτείνεται καὶ ὑπὲρ τὰ ὄντα ἔστιν. Ἡ δὲ τῆς ζωῆς εἰς πάντα τὰ ζῶντα ἐκτείνεται καὶ ὑπὲρ τὰ ζῶντα ἔστιν. Ἡ δὲ τῆς σοφίας εἰς πάντα τὰ νοερὰ καὶ λογικὰ καὶ αἰσθητικὰ ἐκτείνεται καὶ ὑπὲρ πάντα ταῦτα ἔστιν.

«Ведь божественное имя “Благо”, являющее все выступления всеобщей Причины, распространяется и на сущее, и на не-сущее, и выше сущего и не-сущего. И [имя] “Сущий” распространяется на все сущее и выше сущего. И “Жизнь” распространяется на все живущее и выше живущего. И “Премудрость” распространяется на все мыслящее, разумное и воспринимаемое чувствами, и выше всего это».

Дионисий Ареопагит. О Божественных именах 5.3: 182.1–16 (Suchla).

Καίτοι φαίη τις· Ἀνθ' ὅτου τοῦ ὄντος τὴν ζωὴν καὶ τῆς ζωῆς τὴν σοφίαν ὑπερεκτεινομένης τῶν ὄντων μὲν τὰ ζῶντα, τῶν δὲ ὅσα ζῇ τὰ αἰσθητικὰ καὶ τούτων τὰ λογικὰ καὶ τῶν λογικῶν οἱ νόες ὑπερέχουσι καὶ περὶ θεὸν εἰσὶ καὶ μᾶλλον αὐτῷ πλησιάζουσι; Καίτοι ἔδει τὰ τῶν μειζόνων ἐκ θεοῦ δωρεῶν μετέχοντα καὶ κρείττονα εἶναι καὶ τῶν λοιπῶν ὑπερέχειν.

Ἀλλ' εἰ μὲν ἀνούσια καὶ ἄζωά τις ὑπετίθετο τὰ νοερά, καλῶς ἂν εἶχεν ὁ λόγος. Εἰ δὲ καὶ εἰσὶν οἱ θεῖοι νόες ὑπὲρ τὰ λοιπὰ ὄντα καὶ ζῶσιν ὑπὲρ τὰ ἄλλα ζῶντα καὶ νοοῦσι καὶ γινώσκουσιν ὑπὲρ αἴσθησιν καὶ λόγον καὶ παρὰ πάντα τὰ ὄντα τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐφίενται καὶ μετέχουσιν, αὐτοὶ μᾶλλον εἰσὶ περὶ τἀγαθὸν οἱ περισσῶς αὐτοῦ μετέχοντες καὶ πλείους καὶ μείζους ἐξ αὐτοῦ δωρεὰς εἰληφότες ὥσπερ καὶ τὰ λογικὰ τῶν αἰσθητικῶν ὑπερέχει πλεονεκτοῦντα τῇ περισσείᾳ τοῦ λόγου, καὶ ταῦτα τῇ αἰσθήσει καὶ ἄλλα τῇ ζωῇ. Καὶ ἔστιν, ὡς οἶμαι, τοῦτο ἀληθές, ὅτι τὰ μᾶλλον τοῦ ἑνὸς καὶ ἀπειροδώρου θεοῦ μετέχοντα μᾶλλόν εἰσιν αὐτῷ πλησιαίτερα καὶ θειότερα τῶν ἀπολειπομένων.

«Однако же кто-нибудь может сказать: почему Сущее распространяется дальше Жизни, а Жизнь дальше Премудрости, в то время как живущие – выше сущих, чувствующие – живущих, разумные – чувствующих, и выше разумных умы, которые суть около Бога и наиболее близки к Нему? Ведь причаствующим к большим Божиим дарам подобает и быть лучшими, и превосходить других.

Если умные существа могут быть приняты в качестве не имеющих ни бытия, ни жизни, то рассуждение справедливо. Если же божественные умы превосходят остальное сущее, их способ жизни выше прочих живущих, они мыслят и познают выше чувствования и разумности, и превыше всех сущих стремятся и причаствуют к Прекрасному и Благу, то они и ближе к Благу, к Которому наиболее причаствуют, большее количество великих даров от Него получив; как и обладающее разумом превосходит даром разума чувствующих, те прочих – наличием чувства, а другие остальных – жизнью».